Τῷ σαββάτῳ τῆς, γ΄, ἑβδομάδος. Τῆς σταυροπροσκυνήσεως. Ἐν τῷ μικρῷ ἑσπερινῷ στιχηρὰ προσόμοια, εἰς, δ΄, ἦχος πλ. β΄. Δόξα, καὶ νῦν, ὅμοιον. Ἀπόστιχα προσόμοια, ἦχος, β΄. Δόξα, καὶ νῦν, ὅμοιον. Ἀπολυτίκιον. Σῶσον Κύριε τὸν λαόν σου. Καὶ γίνεται ἀπόλυσις.

Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ μικροῦ ἑσπερινοῦ, αἴρουσι τὸ τίμιον ξύλον τοῦ σταυροῦ, ἀπὸ τοῦ σκευοφυλακίου, μετὰ τῆς θήκης. Μετὰ λαμπάδων καὶ θυμιατοῦ. Ψάλλοντες, τό, Σῶσον Κύριε τὸν λαόν σου. Καὶ εἰσφέρουσιν αὐτὸ ἐν τῇ ἐκκλησίᾳ. Καὶ ἀποτιθέασιν εἰς τὴν ἁγίαν τράπεζαν. Καὶ ἅπτει κηρὸς ἔμπροσθεν αὐτοῦ δι' ὅλης νυκτός. Ἡμεῖς δὲ ἀπερχόμεθα ἐν τῇ τραπέζῃ. Καὶ ἀριστάμενοι, εἰσερχόμεθα ἐν τῷ ναῷ.

## Διάταξις τῆς γ΄ κυριακῆς τῶν ἁγίων νηστειῶν, καὶ τῆς μετ᾽ αὐτὴν ἑβδομάδος.

### Κεφάλαιον λδ΄.

Κυριακῇ τρίτῃ τῶν ἁγίων νηστειῶν. Τὴν προσκύνησιν ἑορτάζομεν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. Τῷ σαββάτῳ ἐν τῇ ἀγρυπνίᾳ, εὐλογεῖ ὁ ἱερεύς. Καὶ ψάλλομεν τὸν συνήθη προοιμιακὸν ψαλμόν. Εἶτα ἡ στιχολογία τοῦ α΄ καθίσματος. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄. Καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς ὀκτωήχου, γ΄. Καὶ ἀνατολικά, γ΄. Καὶ τοῦ τιμίου σταυροῦ, προσόμοια, δ΄, ἦχος πλ. α΄. πρός, Χαίροις ἀσκητικῶν. Λάμψον ὁ τοῦ κυρίου σταυρός. ἐξ ὧν δευτεροῦμεν, τὸ ἕν. Δόξα, ἦχος γ΄. Χριστὲ ὁ θεὸς ἡμῶν. ὁ τὴν ἑκούσιον σταύρωσιν. καὶ νῦν, θεοτοκίον τὸ α΄, τοῦ ἤχου. Εἴσοδος. τό, Φῶς ἱλαρόν. προκείμενον. Ὁ κύριος ἐβασίλευσεν. Ἐκτενή. Καὶ τὰ λοιπὰ ὡς ἔθος. Εἰς τὴν λιτήν. Δόξα, καὶ νῦν, ἦχος πλ. α΄. Ὁρῶσά σε, ἡ κτίσις ἅπασα. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ὀκτωήχου. Καὶ τὰ κατὰ ἀλφάβητον. Δόξα, καὶ νῦν, ἦχος δ΄. Ὁ συμμαχήσας κύριε τῷ πραοτάτῳ Δαβίδ. Ἀπολυτίκιον. Θεοτόκε παρθένε, δίς, β΄. Καὶ τοῦ σταυροῦ ἅπαξ, ἦχος α΄. Σῶσον κύριε τὸν λαόν σου. Καὶ ἡ λοιπὴ ἀκολουθία τῆς ἀγρυπνίας ὡς ἔθος. Εἰς τὸν ὄρθρον, μετὰ τὸν ἑξάψαλμον. Θεὸς κύριος, εἰς τὸν ἦχον τῆς ὀκτωήχου. Καὶ λέγομεν τὸ ἀναστάσιμον ἀπολυτίκιον. Δόξα τοῦ σταυροῦ. Σῶσον κύριε τὸν λαόν σου. καὶ νῦν, θεοτοκίον. Τοῦ Γαβριὴλ φθεγξαμένου σοι. Ἡ συνήθης στιχολογία. καὶ ὁ πολυέλεος. Καθίσματα λέγομεν τὰ ἀναστάσιμα. Μετὰ τὸν πολυέλεον κάθισμα τοῦ σταυροῦ, ἦχος πλ. δ΄. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου. Εὐαγγέλιον ἑωθινόν. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. ὁ πεντηκοστός. Δόξα, ἦχος πλ. δ΄. Τῆς μετανοίας, ἄνοιξόν μοι. καὶ νῦν, ὅμοιον. Τῆς σωτηρίας, εὔθυνόν μοι. Εἶτα ἐλέησόν με ὁ θεός. Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν. Καὶ οἱ ἀναστάσιμοι κανόνες, καὶ τῆς θεοτόκου. Εἶτα τοῦ τριῳδίου εἰς η΄. Ποίημα τοῦ κυρίου Θεοδώρου τοῦ Στουδίτου, ἦχος πρῶτος. πρός. Ἀναστάσεως ἡμέρα. Πανηγύρεως ἡμέρα τῇ ἐγέρσει Χριστοῦ. Καταβασίαν ἔσχατον λέγουσιν ἀμφότεροι οἱ χοροί, τὰ πρὸς εἱρμόν. Ὁ θειότατος προετύπωσε πάλαι Μωσῆς. Ἀπὸ γ΄ ᾠδῆς, κάθισμα τοῦ τιμίου σταυροῦ, ἦχος πλ. β΄. Ὁ σταυρός σου κύριε ἡγίασται. στίχος. Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν. Σήμερον τὸ προφητικόν. Δόξα. Μόνον ἐπάγη τὸ ξύλον Χριστέ. Καὶ νῦν. Θεοτόκε παρθένε ἱκέτευε. Ἀπὸ ϛ΄ ᾠδῆς, τὸ κοντάκιον τοῦ τριῳδίου, ἦχος βαρύς. Οὐκέτι φλογίνη ῥομφαία. Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους η΄. Καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς ὀκτωήχου, δ΄. Καὶ τοῦ τριῳδίου προσόμοια, γ΄. Δευτεροῦντες τὸ ἕν, ἦχος δ΄. πρός, Ὡς γενναῖον ἐν μάρτυσιν. Ἐν φωναῖς ἀλαλάξωμεν. στίχος. Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν. στίχος. Ὁ δὲ θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων. Καὶ δευτεροῦντες τὸ α΄. Εἶτα λέγομεν στίχον. Ἀνάστηθι κύριε ὁ θεός μου ὑψωθήτω. Καὶ ψάλλομεν τὸ τριῳδίου, ἦχος πλ. δ΄. Τὴν ὑψηλόφρονα γνώμην

Δόξα πάλιν τὸ αὐτό. καὶ νῦν.

Ὑπερευλογημένη ὑπάρχεις. Δοξολογία μεγάλη. Ὅταν δὲ ψάλλομεν τὴν δοξολογίαν. Ἀλλάσσει ὁ ἱερεὺς τὴν στολὴν αὐτοῦ. Καὶ λαβὼν θυμιατὸν, θυμιᾷ τὴν ἁγίαν τράπεζαν, καὶ τὸν σταυρόν. Εἶθ' οὕτως λαμβάνει αὐτὸν μετὰ δίσκου ἐπὶ τῆς κεφαλῆς αὐτοῦ σὺν τῇ θήκῃ. Καὶ ἐξέρχεται ἐκ τοῦ ἀριστεροῦ βήματος. Προπορευομένων αὐτοῦ, λαμπάδων δύο, καὶ θυμιατοῦ. Καὶ ἀπέρχεται εἰς τὰς βασιλικὰς πύλας. Τελεσθείσης δὲ τῆς δοξολογίας καὶ τοῦ τρισαγίου. Λέγει ὁ ἱερεύς. Σοφία ὀρθοί. Καὶ λέγομεν τὸ τροπάριον. Σῶσον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. ἐκ τρίτου. Καὶ εἰσοδεύει ὁ ἱερεύς, φέρων τὸν τίμιον σταυρόν, ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Κἀκεῖσε προαποτεθέντος τετράποδος. Τίθεται ἐπάνω αὐτοῦ ὁ τίμιος σταυρός. Καὶ εὐθὺς ἀρχόμεθα ψάλλειν τοῦτο, τροπάριον, ἦχος, πλ. β. Τὸν σταυρόν σου προσκυνοῦμεν δέσποτα.

Καὶ ἀνοίξας τὴν θήκην. Ἄρχεται προσκυνῶν ὁ προεστώς, καὶ ὁ ἱερεύς. Ψάλλοντες, μετανοίας, γ', κατενώπιον τοῦ τιμίου σταυροῦ. Καὶ μετὰ τὸ ἀσπάσασθαι, πάλιν βάλλουσι μετανοίας ὁμοίως. Καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν. Εἶθ' οὕτως ἄρχονται οἱ ἀδελφοί, προσκυνούντων δὲ τῶν ἀδελφῶν. Ψάλλομεν στιχηρά, ἰδιόμελα, ἦχος, β'. Δεῦτε πιστοί, τὸ ζωοποιὸν ξύλον προσκυνήσωμεν. Καὶ ἦχος, πλ. δ. Σήμερον ὁ δεσπότης τῆς κτίσεως. δόξα, ἦχος, πλ. δ. Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ. Καὶ νῦν ὅμοιον, Σήμερον τὸ προφητικόν. Καὶ ψάλλομεν, μέχρις ἂν πληρωθῶσιν οἱ ἀδελφοὶ προσκυνοῦντες. Εἶθ' οὕτως ἡ συνήθης ἐκτενή, ἡ λιτὴ μετὰ τοῦ ἑωθινοῦ στιχηροῦ. Καὶ, ἡ, α', ὥρα. Ἐν ᾗ ἀναγινώσκεται ἡ κατήχησις τοῦ στουδίτου. Εἰς τὴν λειτουργίαν τυπικά. Οἱ μακαρισμοὶ τοῦ ἤχου. Καὶ ἐκ τοῦ κανόνος τοῦ σταυροῦ. Ἀντὶ δὲ τοῦ τρισαγίου. Τὸν σταυρόν σου προσκυνοῦμεν δέσποτα. προκείμενον. τοῦ ἀποστόλου, ἦχος, πλ. β. Σῶσον κύριε τὸν λαόν σου. στίχος. Πρὸς σὲ κύριε κεκράξομαι. ὁ ἀπόστολος. Πρὸς ἑβραίους. Ἀδελφοὶ ἔχοντες ἀρχιερέα μέγαν. Ἀλληλούϊα, ἦχος, πλ. δ. Μνήσθητι τῆς συναγωγῆς σου. στίχος. Ὁ δὲ θεὸς ἡμῶν βασιλεύς. Εὐαγγέλιον, τῆς ἡμέρας. Κοινωνικόν. Ἐσημειώθη ἐφ' ἡμᾶς, τὸ φῶς τοῦ προσώπου σου κύριε.

Δεῖ εἰδέναι, ὅτι τὴν αὐτὴν προσκύνησιν ποιοῦμεν. Κατὰ τὸν προγραφέντα τύπον. Καὶ ἐν τῇ, α', ὥρα τῆς δευτέρας. Ψάλλοντες ἀντὶ τοῦ· Τὰ διαβήματά μου. Τὸν σταυρόν σου προσκυνοῦμεν δέσποτα. Προσκυνοῦμεν δὲ, ἡμέρας, δ'. Τῇ κυριακῇ. Τῇ δευτέρᾳ. Τῇ τετράδι. Καὶ τῇ παρασκευῇ. Καὶ τῇ παρασκευῇ γίνεται ἡ προσκύνησις τῇ, α', ὥρᾳ. Καὶ εἰς τὴν, θ', ὥραν μετὰ τὸ τρισάγιον, προσκυνοῦμεν πάλιν. Καὶ συστέλλεται ὁ τίμιος σταυρὸς ἐν τῇ θήκῃ.

Τῇ κυριακῇ ἑσπέρας. Εἰς τὸ κύριε ἐκέκραξα. ἱστῶμεν στίχους, ι'. Καὶ ψάλλομεν τὰ, δ' στιχηρὰ τῆς ὀκτωήχου. Καὶ κατανυκτικὰ τοῦ ἤχου. Καὶ τοῦ τριῳδίου, γ', προσόμοια. Καὶ τοῦ μηναίου γ'. Δόξα, καὶ νῦν, θεοτοκίον. Εἴσοδος. Φῶς ἱλαρόν. προκείμενον, ἦχος, πλ. δ.

Εἰς

Εἰς τὸν στίχον τό, ἀλλ(ηλούια) τῆς ἡμέρας δίς, ἦχος, πλ. δ'. τὸ μαρτυρικόν. δόξα, καὶ νῦν, θ'. Καὶ τὰ λοιπὰ ὡς σύνηθες.

Τῇ δευτέρᾳ τῆς, δ', ἑβδομάδος εἰς τὸν ὄρθρον. Τὰ τριαδικὰ τοῦ λαχόντος ἤχου. Μετὰ τὴν, α', στιχολογίαν καθίσματα κατανυκτικὰ τῆς ὀκτωήχου. Μετὰ δὲ τὴν β', στιχολογοῦμεν κάθισμα. Εἰς δὲ τὴν τρίτην στιχολογίαν, κάθισμα ἕτερον. Ψάλλομεν δὲ τὸν κανόνα τοῦ μηναίου. Καὶ τὰ τριῴδια. Καὶ στιχολογεῖται ἡ ᾠδή. Τὸ φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχον ἀλλ(ηλούια) δίς. Τὸ μαρτυρικόν. δόξα, καὶ νῦν, θεοτ. Καὶ τὰ λοιπὰ ὡς σύνηθες.

Τῇ δευτέρᾳ ἑσπέρας. Εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια, γ'. Καὶ τοῦ μηναίου γ'. δόξα, καὶ νῦν, θεοτ. Τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον, τὸ ἀλλ(ηλούια), δίς. Τὸ μαρτυρικόν. δόξα, καὶ νῦν, θεοτ.

Τῇ τρίτῃ τῆς, δ', ἑβδομάδος. Εἰς τὸν ὄρθρον τὰ τριαδικά. Μετὰ τὴν στιχολογίαν, καθίσματα κατανυκτικὰ τῆς ὀκτωήχου. Καὶ μετὰ τὴν, β', κάθισμα. Μετὰ δὲ τὴν, γ'. ἕτερον κάθισμα. Ψάλλομεν δέ. Καὶ τὸν κανόνα τοῦ μηναίου. Καὶ τὰ τριῴδια κατὰ τὴν τάξιν αὐτῶν.

Τῇ τρίτῃ τῆς μέσης ἑβδομάδος. Ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια τοῦ σταυροῦ. Τὰ εἰς τοὺς αἴνους τῆς κυριακῆς. Καὶ τοῦ τριῳδίου. Τοῦ δὲ κατὰ τὴν ἡμέραν ἁγίου. Ψάλλομεν ἐν τοῖς ἀποδείπνοις. Εἰς τὸν στίχον τὸ ἀλλ(ηλούια) τῆς ἡμέρας, ἦχος, γ'. Νικῶν τὸν πλάνην. Τὸ μαρτυρικόν. δόξα, καὶ νῦν, ἀλλ(ηλούια) τοῦ σταυροῦ, ἦχος, πλ. α'. Ὁρῶσα σε ἡ κτίσις ἅπασα.

Τῇ, δ', τῆς μέσης ἑβδομάδος εἰς τὸν ὄρθρον ἡ τοῦ σταυροῦ στιχολογία. Καὶ ἡ λοιπὴ ἀκολουθία, ὡς καθ' ἑκάστην, ἀπαραλλάκτως. Ψάλλομεν δέ. Καὶ τὸν κανόνα τοῦ τιμίου σταυροῦ, εἰς, ς'. Ἀπὸ, γ', ᾠδῆς κάθισμα τοῦ σταυροῦ. Ἀπὸ ἕκτης τὸ κοντάκιον τοῦ σταυροῦ, καὶ ὁ οἶκος. Καὶ τριῴδια κατὰ τὴν τάξιν αὐτῶν. Εἰς τὸν στίχον τὸ ἀλλ(ηλούια) τῆς ἡμέρας δίς, ἦχος, πλ. δ'. Τῆς νηστείας τὴν ὁδὸν μεσάσαντες. Καὶ τὸ μαρτυρικόν. Δόξα, ἀλλ(ηλούια), ἦχος, πλ. δ'. Μεσάσαντες τὸ πέλαγος. καὶ νῦν, πάλιν τὸ αὐτό. Ἡ δὲ τοῦ σταυροῦ προσκύνησις γίνεται καθὼς προεγράφη ἐν τῇ α', ὥρᾳ. Ἐν ᾗ ψάλλομεν τὰ προγραφέντα πρὸ τῇ κυριακῇ, ἤγουν τὸ ἀλλ(ηλούια). Δεῦτε πιστοί. καὶ τὰ λοιπά. Καὶ ἀπόλυσις.

Τῇ, δ', τῆς μέσης ἑβδομάδος ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στιχ(ους), ι'. Καὶ ψάλλομεν, ἀλλ(ηλούια), ἦχος, δ'. Ἡ τῶν ἀγαθῶν πρόξενος νηστεία. Λέγεται δὲ ἅπαξ. Εἶτα ἕτερα ἀλλ(ηλούια), ἦχος, πλ. α'. Οἱ ἐν κρυπτῷ τὰς ἀρετὰς ἐργαζόμε(νοι). Μαρτυρικὸν ἦχος ὁ αὐτός. Εἶθ' οὕτως τὰ προσόμοια τοῦ τριῳδίου καὶ τοῦ μηναίου. Δεύτερον μὲν τοῦτο ἐν. Δόξα, καὶ νῦν, ἀλλ(ηλούια) τοῦ σταυροῦ, ἦχος, πλ. δ'. Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ. Τὰ ἀναγνώσματα. Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων.

Ἀπὸ δὲ ταύτης τῆς ἡμέρας ἀπάρχεται ὁ ἱερεὺς τῶν διπλοκατηχουμένων μετὰ τῆς εὐχῆς.

Τῇ πέμπτῃ τῆς μέσης ἑβδομάδος. Ἐν τῷ ὄρθρῳ τὰ τριαδικὰ τοῦ λαχόντος ἤχου, μετὰ τὴν, α', στιχολογίαν καθίσματα ἀποστολικὰ τῆς ὀκτωήχου. Μετὰ τὴν, β', στιχολογίαν κάθισμα. Καὶ μετὰ τὴν, γ'. Ψάλλομεν καὶ τοῦ μηναίου. Καὶ τὰ τριῴ-

δια κατὰ τὴν τάξιν αὐτῶν. Τὸ φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχον τὸ ἰδιόμελον, δίς· τὸ μαρτυρικόν. δόξα καὶ νῦν, θεοτοκίον. Καὶ τὰ λοιπὰ ὡς σύνηθες.

Τῇ πέμπτῃ τῆς μέσης ἑβδομάδος. Ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ϛʹ. Καὶ ψάλλομεν τὰ, γʹ, προσόμοια τοῦ τριῳδίου. Καὶ τοῦ μηναίου, γʹ. Δόξα, καὶ νῦν, θεοτοκίον. Τὰ προκείμενα. Τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον τὸ, ἰδιόμελον, δίς. Τὸ μαρτυρικόν. δόξα, καὶ νῦν, θεοτοκίον. καὶ τὰ λοιπά.

Τῇ παρασκευῇ τῆς μέσης ἑβδομάδος. Εἰς τὸν ὄρθρον, τὰ τριαδικὰ τοῦ ἤχου. Μετὰ τὴν πρώτην, στιχολογίαν. Λέγομεν καθίσματα σταυρώσιμα τῆς ὀκτωήχου. Καὶ μετὰ τὴν δευτέραν. Καὶ τὴν, γʹ, κάθισμα, ὁ, μʹ. Καὶ ὁ κανὼν τοῦ τιμίου σταυροῦ. Τὸ γὰρ μηναῖον, ψάλλεται ἐν τοῖς ἀποδείπνοις. Ἀπὸ, γʹ, ᾠδῆς, κάθισμα. Ἀπὸ ϛʹ ἕκτης τὸ κοντάκιον. Καὶ τὰ τριῴδια κατὰ τάξιν. Ἀπὸ στίχων, τὸ ἰδιόμελον, καὶ τὸ μαρτ[υρικ]όν. δόξα, καὶ νῦν ἀπόστιχον, ἦχος, πλ. δ. Σήμερον ὁ δεσπότης τῆς κτίσεως. Ἡ πρώτη ὥρα καὶ ἀπόλυσις.

Γίνεται δὲ ἡ σταυροπροσκύνησις ἀπαραλλάκτως, ὡς ἐν τῇ κυριακῇ. Μετὰ τὴν ἀπόλυσιν τῶν ὡρῶν. Καὶ αἴρεται ὁ τίμιος σταυρός. Εἰς τὴν τριθέκτην, τροπάριον τῆς προφητείας. Τὸν σταυρόν σου προσκυνοῦμεν δέσποτα. Καὶ τὰ λοιπά.

Τῇ παρασκευῇ τῆς μέσης ἑβδομάδος ἑσπέρας. Εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ιʹ. Καὶ ψάλλομεν τὸ ἰδιόμελον δίς. Καὶ τὰ, δʹ, μαρτυρικὰ τοῦ ἤχου. Καὶ τοῦ μηναίου, δʹ. τὸ ἰδιόμελον, ἦχος, βαρύς. Τοῖς πάθεσι δουλώσας. Δόξα, τὸ νεκρώσιμον, τοῦ δαμασκηνοῦ. καὶ νῦν, θεοτοκίον, τὸ, αʹ, τοῦ ἤχου. Εἴσοδος, Φῶς ἱλαρόν. Ἑσπέρας προκείμενον, ἦχος, δ. Ὁ ποιμαίνων τὸν ἰσραὴλ πρόσχες. στίχος. Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ. Καὶ τὰ ἀναγνώσματα. Τὸ κατευθυνθήτω. Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων.

Τῷ σαββάτῳ τῆς μέσης ἑβδομάδος εἰς τὸν ὄρθρον. Ἀλληλούϊα. Καὶ τὰ τροπάρια, ἦχος, βʹ. Ἀπόστολοι καὶ μάρτυρες. δόξα. Μνήσθητι κύριε. καὶ νῦν. Μήτηρ ἁγία. Καὶ ἡ πρώτη στιχολογία. Εἶτα τὰ μαρτυρικὰ καθίσματα τῆς ὀκτωήχου, τοῦ ἤχου. Μετὰ δὲ τὸν ἄμωμον, τὰ εὐλογητάρια, λέγομεν καθίσματα νεκρώσιμα καὶ ψάλλομεν καὶ τὸν κανόνα τοῦ μηναίου. Καὶ τοῦ ἁγίου τῆς μονῆς. Καὶ τὰ τετραῴδια κατὰ τὴν τάξιν αὐτῶν. Καὶ στιχολογοῦνται αἱ ᾠδαί. Ἐξαποστειλάριον, τὸ νεκρώσιμον. εἰς τοὺς αἴνους, ψάλλομεν τὰ δʹ, μαρτυρικὰ τοῦ ἤχου. δόξα, καὶ νῦν, θεοτοκίον. εἰς δὲ τὸν στίχον, τὰ προσόμοια τοῦ κυρίου θεοφάνους. εἰς τὴν λειτουργίαν τυπικά. Καὶ οἱ μακαρισμοὶ τοῦ ἤχου. προκείμενον τοῦ ἀποστόλου νεκρώσιμον. Ὁ ἀπόστολος. Πρὸς ἑβραίους. Ἀδελφοί. πεπείσμεθα. Καὶ ὁ νεκρώσιμος. Ἀλληλούϊα, νεκρώσιμον. Εὐαγγέλιον, τὰ ἀμφότερα.

Ὡσαύτως καὶ κοινωνικά.

## Εἴδησις τοῦ τύπου, τῆς τετάρτης κυριακῆς τῶν ἁγίων νηστειῶν. καὶ τῆς μετ' αὐτὴν ἑβδομάδος.

### Κεφάλαιον, λε΄.

Κυριακὴ τετάρτη τῶν ἁγίων νηστειῶν. Τῷ σαββάτῳ ἑσπέρας, στιχηρὰ ἀναστάσιμα, γ΄. Καὶ ἀνατολικά, δ΄. Καὶ τοῦ μηναίου, γ΄. Ἄλλοι δὲ μεταμέστεροι ὥρισαν ψάλλεσθαι, τὴν ἀκολουθίαν, τοῦ ἁγίου ἰωάννου, τοῦ συγγραφέως τῆς κλίμακος. στιχηρά, ἦχος, πλ. δ΄. προσόμοια, ὢ τοῦ παραδόξου θαύματος. Πάτερ ἰωάννη ὅσιε. Δόξα, ἦχος, πλ. β΄. Ὅσιε πάτερ, τῆς φωνῆς τοῦ εὐαγγελίου. καὶ νῦν, θεοτοκίον, τὸ πρῶτον τοῦ ἤχου. Εἰς τὸν στίχον. στιχηρὰ τῆς ὀκτωήχου. δόξα τοῦ ὁσίου, ἰδιόμελον, ἦχος, β΄. Τὸν ἐπὶ γῆς ἄγγελον. καὶ νῦν, θεοτοκίον, ἦχος ὁ αὐτός. Ὢ θαύματος καινοῦ. Τό, νῦν ἀπολύεις. Τό, τρισάγιον. τροπάριον, ἦχος, α΄. Τῆς ἐρήμου πολίτης. Εἰς τὸν ὄρθρον. Μετὰ τὴν ἐξ ἔθους ἅπασαν ἀκολουθίαν. Κανόνες, γ΄. ὁ ἀναστάσιμος, μετὰ τῆς θεοτόκου, εἰς, ς΄. Καὶ τοῦ τριῳδίου, εἰς, δ΄. Καὶ τοῦ ἁγίου, εἰς, δ΄. καταβασία. Ἀνοίξω τὸ στόμα μου. Ἀπὸ ᾠδῆς, γ΄, τὰ καθίσματα. Ἀπὸ δὲ ἕκτης, τὸ κοντάκιον, ἦχος, δ΄. προσόμοιον. Ἐπεφάνης σήμερον. Ἐν τῷ ὕψει κλίμακος τῆς ἐγκρατείας. Εἰς τοὺς αἴνους τὰ ἀναστάσιμα στιχηρὰ τῆς ὀκτωήχου. Καὶ τὰ ἀνατολικά. Εἶτα λέγομεν στίχον. Ἀνάστηθι κύριε ὁ θεός μου. καὶ ψάλλομεν τὸ ἰδιόμελον, ἦχος, α΄. Δεῦτε ἐργασώμεθα. Δόξα, πάλιν τὸ αὐτό. καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Ἡ πρώτη ὥρα, καὶ ἡ κατήχησις. Καὶ ἡ λοιπὴ ἀκολουθία, ὡς σύνηθες. Εἰς τὴν λειτουργίαν τυπικά. Καὶ μακαρισμοὶ τοῦ ἤχου. Προκείμενον τοῦ ἀποστόλου, τοῦ ἐνορδίνου ἤχου. καὶ τοῦ ὁσίου. Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος. Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν. Ὁ ἀπόστολος τῆς ἡμέρας. πρὸς ἑβραίους. Ἀδελφοί, τῷ ἀβραὰμ ἐπαγγειλάμενος ὁ θεός. Καὶ τοῦ ὁσίου. πρὸς ἐφεσίους. Ὡς τέκνα φωτὸς περιπατεῖτε, ἀδελφοί. Ἀλληλούια τοῦ ἤχου. Καὶ τοῦ ὁσίου. Πεφυτευμένος ἐν τῷ οἴκῳ κυρίου. Εὐαγγέλια τὰ ἀμφότερα. κοινωνικόν. Αἰνεῖτε τὸν κύριον. Καὶ τό, εἰς μνημόσυνον αἰώνιον.



Τῇ κυριακῇ ἑσπέρας. Μετὰ τὸν προοιμιακὸν ψαλμόν, στιχολογοῦμεν τὸ ἐνορδίνου κάθισμα τοῦ ψαλτηρίου. Εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ι΄. καὶ ψάλλομεν στιχηρὰ κατανυκτικὰ τῆς ὀκτωήχου, δ΄. Καὶ τὰ τοῦ τριῳδίου προσόμοια. Καὶ τοῦ μηναίου, γ΄. δόξα, καὶ νῦν, θεοτοκίον. Εἴσοδος, τὸ προκείμενον. Εἰς τὸν στίχον τὰ ἰδιόμελα τῆς ἡμέρας, τὸ μαρτυρικόν. δόξα, καὶ νῦν, θεοτοκίον. Καὶ ἡ λοιπὴ ἀκολουθία, κατὰ τὸ σύνηθες. Καὶ εἰς τὰ ἀπόδειπνα ψάλλε τὴν ἀκολουθίαν τοῦ μηναίου τοῦ ἐπιλαχόντος ἁγίου κατὰ τὴν πέμπτην.

Τῇ δευτέρᾳ τῆς πέμπτης ἑβδομάδος. Εἰς τὸν ὄρθρον, τὰ τριαδικὰ τοῦ λαχόντος ἤχου. Μετὰ τὴν, α΄, στιχολογίαν, ψάλλομεν καθίσματα κατανυκτικὰ τῆς ὀκτωήχου, β΄. μετὰ καὶ θεοτοκίου. Μετὰ δὲ τὴν, β΄, στιχολογίαν καὶ τὴν, γ΄, καθίσματα. Καὶ τὸ τριῴδιον. Καὶ τὰ λοιπὰ ὡς σύνηθες.

Τῇ δευτέρᾳ τῆς, ε, ἑβδομάδος ἑσπέρας, στιχολογοῦμεν ἀντὶ τῶν προσκηνείων, τὸ ἐνορδίνου κάθισμα τοῦ ψαλτηρίου. Εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ς΄. Καὶ ψάλλομεν προσόμοια, γ΄. Καὶ τοῦ μηναίου, γ΄. Δόξα, καὶ νῦν, θεοτοκίον. τὰ προκείμενα. Καὶ τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον τὰ ἀλληλούια. Καὶ τὰ δύο ἅπαξ, τὸ μαρτυρικόν. δόξα, καὶ νῦν. Καὶ τὰ λοιπά.

Τῇ τρίτῃ τῆς, ε, ἑβδομάδος. Εἰς τὸν ὄρθρον τὰ τριαδικά. Μετὰ τὴν, α, στιχολογίαν καθίσματα τῆς ὀκτωήχου κατανυκτικά. Μετὰ τὴν, β΄, κάθισμα ὁμοίως, καὶ μετὰ τὴν, γ΄. τὸ κάθισμα. Ψάλλομεν καὶ τὸν κανόνα τοῦ μηναίου. Καὶ τὰ τριῴδια κατὰ τὴν τάξιν αὐτῶν. Καὶ τὰ λοιπὰ ὡς σύνηθες.

Τῇ τρίτῃ, τῆς, ε, ἑβδομάδος ἑσπέρας. Εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ς΄. Καὶ ψάλλομεν, προσόμοια τὰ τοῦ τριῳδίου, γ΄. Καὶ τοῦ μηναίου, γ΄. Δόξα, καὶ νῦν, θεοτοκίον. Τὰ προκείμενα, Καὶ τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον, τὰ ἀλληλούια, ἅπαξ. τὸ μαρτυρικόν. Δόξα, καὶ νῦν, θεοτοκίον καὶ τὰ λοιπά.

Τῇ τετράδι, τῆς, ε, ἑβδομάδος εἰς τὸν ὄρθρον τὰ τριαδικά. Μετὰ τὴν, α, στιχολογίαν καθίσματα προσόμοια τῆς ὀκτωήχου, δύο μετὰ θεοτοκίων. Καὶ μετὰ τὴν, β΄. καὶ τὴν, γ΄, τὰ καθίσματα. Ψάλλομεν καὶ τὸν κανόνα τοῦ μηναίου. Καὶ τὰ τριῴδια κατὰ τὴν τάξιν αὐτῶν. ὡς σύνηθες.

Τῇ τετράδι, τῆς, ε, ἑβδομάδος στιχολογοῦμεν τὰ πρὸς κύριον. Εἰς τὸ κύριε ἐκέκραξα. στίχοι ἀλληλούια ὃ λέγομεν δίς. Ἀρχόμεθα δὲ στιχηρὰ ἀπὸ τοῦ, πεσοῦντες ἐν ἀμφιβλήστρῳ αὐτῶν, ἦχος, πλ. δ΄. Τοῖς τῶν ἐμῶν λογισμῶν λῃσταῖς περιπεσών. Καὶ τὸ μαρτυρικόν. Εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος. Καὶ τὰ γ΄, προσόμοια τοῦ τριῳδίου. Εἶθ᾽ οὕτως τά, κδ΄, στιχηρὰ τὰ κατὰ ἀλφάβητον, ἦχος, δ΄. πρός. Ἤθελον δάκρυσιν ἐξαλεῖψαι. Ἄπαυστος βίος μου μετὰ πορνῶν. ποιοῦντες καθ᾽ ἓν ἕκαστον στιχηρὸν μετανοίας, γ΄. Εἴσοδος. τὸ, Φῶς ἱλαρόν. Ἑσπέρας προκείμενον, ἦχος, δ΄. Θεὸς ἐκδικήσεων κύριος. στίχος. Ὑψώθητι ὁ κρίνων τὴν γῆν. Γενέσεως τὸ ἀνάγνωσμα. Ἐγένετο Ἀβραὰμ ἐτῶν ἐνενηκονταεννέα. προκείμενον, ἦχος πλ. β΄. Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν. στίχος. Ἄσατε τῷ κυρίῳ εὐλογήσατε. Παροιμιῶν τὸ ἀνάγνωσμα. Υἱὸς σοφός, εὐφραίνει πατέρα. Τὸ κατευθυνθήτω. Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων. Εἰς δὲ τὴν τράπεζαν, ἐσθίομεν ἔλαιον, πίνοντες καὶ οἶνον, διὰ τὸν κόπον τῆς ἀγρυπνίας. Τὰ δὲ ἀπόδειπνα, ψάλλομεν ἐν τοῖς κελλίοις.

Τῇ πέμπτῃ, τῆς πέμπτης ἑβδομάδος. Σημαινείσης ὥρα, δ΄, τῆς νυκτός. Καὶ συναχθέντων ἡμῶν ἐν τῇ ἐκκλησίᾳ, γίνεται εὐλογητὸς παρὰ τοῦ ἱερέως ὡς σύνηθες. Καὶ λέγομεν τὸν ἑξάψαλμον. Τὸ ἀλληλούια. Καὶ τὰ τριαδικὰ ὡς ἔθος τοῦ ἤχου. στιχολογοῦμεν καὶ τὸ ἐν διατακτὸν κάθισμα τοῦ ψαλτηρίου. Εἶτα λέγομεν τὰ καθίσματα τῆς ὀκτωήχου. Καὶ ἀναγινώσκομεν τὸν βίον τῆς ὁσίας μαρίας τῆς αἰγυπτίας, δόσεις, β΄. Εἶτα ὁ, ν΄. Καὶ εὐθὺς ἀρχόμεθα τοῦ μεγάλου κανόνος, ἀργῶς. Καὶ μετὰ συντετριμμένης καρδίας καὶ φωνῆς. Ποιοῦντες καὶ καθ᾽ ἓν τροπάριον, μετανοίας, γ΄. Κανὼν ὁ μέγας. Ποίημα τοῦ ἁγίου πρὸς ἀνδρέου κρήτης, τοῦ ἱεροσολυμίτου, ἦχος, πλ. β΄.

Βοηθὸς

βοηθὸς καὶ σκεπαστής. Ἀπὸ, γ´, ὥ, ψάλλει ὁ ψάλτης τὸ, ἐν τῷ τρῳωδίου κα. Καὶ ἡμεῖς τὸ ἕτερον. Εἰς δὲ τὴν, δ´, ὥ. Προηγοῦνται τὰ τροπάρια, χωρὶς μετανοιῶν. Ὁμοίως καὶ ἐν τῇ ϛ´, ὥ, καὶ ἐν τῇ, θ´. Ἀφ᾽ ἕκτης τὸ κοντάκιον τῆς ἡμέρας. Μετὰ δὲ τὴν ἀνάγνωσιν· ψάλλονται οἱ μακαρισμοί, μετὰ μετανοιῶν, ἦχος, πλβ. Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν κε. Λῃστὴν τοῦ παραδείσου χε. Μετὰ τὴν ἐνάτην, ἐξαποστειλάριον τὸ φωταγωγικόν, ὡς σύνηθες. Εἰς τὸν στιχ. τὸ στιχηρὸν ἦχ. πλδ., δίς. Ταῖς λῃστρικαῖς ἐφόδοις. Τὸ μαρτυρικόν. δόξα, καὶ νῦν θ´, ἦχος ὁ αὐτός. Συνάπτεται δὲ καὶ ἡ α, ὥρα, ἄνευ στιχολογίας, καὶ ἀπόλυσις. Εἰς τὴν τριτέκτην, τροπ. τῆς προφητείας. καὶ τὰ λοιπά.

Τῇ πέμπτῃ ἑσπέρας, μετὰ τὸν προοιμιακόν. Στιχολογοῦμεν ἀντὶ τῶν προσκυνείων, τὸ καθισμα ὅπερ ἀφείθη ἐν τῇ, α, ὥρᾳ. Σημαίνει δὲ τὸ λυχνικὸν ταχύτερον, διὰ τὸν κόπον τῆς ἀγρυπνίας. Εἰς τὸ, κε ἐκέκραξα ἱστῶμεν στιχ., ι. τὸ, ἰδιόμελον μαρτυρικόν, καὶ τὰ προσόμοια. Καὶ τοῦ μηναίου δ´. Εἴσοδος, φῶς ἱλαρὸν, τὰ προκείμενα. Καὶ τὰ ἀναγνώσματα. Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων. Ἐν ᾗ μεταλαμβάνομεν, καὶ τῶν ἁγίων τοῦ χυ μυστηρίων.

Δεῖ εἰδέναι, ὡς ἐὰν φθάσει ὁ εὐαγγελισμός, κατὰ τὴν ἡμέραν ταύτην, προψάλλεται ἡ ἀκολουθία τοῦ μεγάλου κανόνος, τῇ τρίτῃ ἤγουν τῇ δευτέρᾳ ἑσπέρας. ἡ δὲ ἑορτὴ, γίνεται ἀμεταθέτως.

Τῇ παρασκευῇ, τῆς, ε, ἑβδομάδος, εἰς τὸν ὄρθρον, τὰ τριαδικά. Μετὰ δὲ

Τὴν, α, στιχολογ. καὶ τὰ τροπάρια τῆς ὀκτωήχου. Μετὰ δὲ τὴν, β´, καὶ τὴν, γ´, κα. Εἰς τὸν στιχ. τὸ ἰδιόμελον τῆς ἡμέρας, δίς. τὸ μαρτυρικόν. δόξα, καὶ νῦν θεοτοκίον. Καὶ τὰ λοιπὰ ὡς σύνηθες.

Τῇ παρασκευῇ ἑσπέρας. Μετὰ τὴν συνήθη στιχολ. Εἰς τὸ κε ἐκέκραξα, ἱστῶμεν στιχ., ι. καὶ ψάλλομεν τὸ ἰδιόμελον, ἦχος, πλβ. Ὡς ἐξ εἰλικρινοῦς τῶν θείων ἐντολῶν ἐξερχόμενον δευτεροῦντες αὐτό. Τὸ μαρτυρικόν. Εἶτα ψάλλομεν στιχ. προσόμοια τῆς θκου, τρία. Ποιοῦντες αὐτὰ ἑπτά, ἦχος, πλβ. πρός. Ὅλην ἀποθέμενοι. Βουλὴν προαιώνιον. Δόξα, καὶ νῦν, ἦχος, β´. Τὸ ἀπ᾽ αἰῶνος μυστήριον. Εἴσοδος. τὸ, φῶς ἱλαρὸν. Ἑσπέρας προκείμενον, ἦχος, δ´. Οἰκτίρμων καὶ ἐλεήμων ὁ κς. στίχος. Εὐλόγει ἡ ψυχή μου τὸν κν, καὶ πάντα τά. γενέσεως τὸ ἀνάγν. Ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα. ὁ θεὸς ἐπείραζε. προκείμενον, ἦχος, δ´. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κε. στιχ. Εὐλόγει ἡ ψυχή μου τὸν κν. κε ὁ θς μου. Παροιμιῶν τὸ ἀνάγνωσμα. Ἀδελφοὶ ἐν ἀνάγκαις, χρήσιμοι ἔστωσαν. Τὸ κατευθυνθήτω. Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων.

Εἰς τὰ ἀπόδειπνα ψάλλομεν τὸν μεκρώσιμον κανόνα, τοῦ ἐν διατάκτου ἤχου. Ὡσαύτως καὶ τὸ μηναῖον, τοῦ κατὰ τὴν ἡμέραν ἁγίου.

Τῷ σαββάτῳ τῆς πέμπτης ἑβδομάδος ἐν τῷ ὄρθρῳ. Σημαίνει ὥρα, δ´, τῆς νυκτός, διὰ τὴν ἱκετήριον ἀκολουθίαν, τῆς ἀκαθίστου. Μετὰ δὲ τὸν ἑξάψαλμον. Τὸ, θεὸς κς, εἰς ἦχον, πλδ. Καὶ ψάλλομεν, ἐκ, γ´. τὸ τροπ. ἀγγελικῶς, ἦχος, πλδ. Τὸ, προσταχθὲν μυστικῶς,

λαβὼν ἐν γνώσει. Εἶτα στιχολογοῦμεν, κατὰ τοῦ ψαλτηρίου, ἐν. τό. Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου. Καὶ μετὰ τὴν τούτου συμπλήρωσιν. Ψάλλομεν τὸ κοντάκιον ἐν τῷ μέσῳ, μετὰ μέλους, ἀργῶς, ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ στρατηγῷ. Καὶ ἀναγινώσκομεν, ἀπὸ τῶν οἴκων, ἕξ. Ἱστάμεθα δὲ εἰς τὴν τούτων ἀνάγνωσιν. Οἱ αὐτοὶ δὲ ἄκροι, εἰσὶ κατά, α', β'. ἤγουν, κδ'. Καὶ λέγονται παρὰ τοῦ ἱερέως. Ἄγγελος πρωτοστάτης. Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν ἕξ οἴκων, πάλιν τὸ κοντάκιον. Τῇ ὑπερμάχῳ. Καὶ ἀναγινώσκομεν ἐκ τὸν λόγον τοῦ ἀκαθίστου, δόσιν μίαν. Εἶτα στιχολογοῦμεν τὸν ἄμωμον. Καὶ αὖθις λέγομεν τὸ κοντάκιον. Καὶ ἑτέρους ἕξ οἴκους. Καὶ πάλιν τὸ κοντάκιον. Εἶτα ἀναγινώσκομεν τὸν λοιπὸν λόγον τῆς ἀκαθίστου. Καὶ οἱ κανόνες. Τοῦ ἁγίου τῆς μονῆς, εἰς δ'. Καὶ τῆς ὑπεραγίας θεοτόκου, εἰς, ς'. Ποίημα τοῦ κυροῦ Ἰωσήφ, ἦχος, δ'. πρὸς Ἀνοίξω τὸ στόμα μου. Χριστοῦ βίβλον ἔμψυχον. καταβασία. Ἀνοίξω τὸ στόμα μου. Καὶ μετὰ τὴν, γ', ᾠδὴν, τὸ κοντάκιον. Καὶ ἑτέρους ἕξ οἴκους. Καὶ πάλιν τὸ κοντάκιον. Συναπτή, καὶ τὰ καθίσματα, ἦχος, α'. πρὸς τὸν τάφον σου σωτήρ. Ὁ μέγας στρατηγός. Δόξα, καὶ νῦν, τό, ὅλον. Καὶ πάλιν ἀνάγνωσις. Καὶ μετὰ τὴν, ε', ᾠδὴν, σχολάζει ὁ κανὼν τοῦ ἁγίου. Ἀφ' ἕκτης τὸ κοντάκιον. Καὶ τοὺς καταλειφθέντας ἕξ οἴκους. Εἶθ' οὕτως τὸν, α', οἶκον, καὶ τὸ κοντάκιον. Καὶ πάλιν τὸ κοντάκιον. Τῇ ὑπερμάχῳ. Εἶτα ἀναγινώσκονται τὰ συναξάρια, α', τοῦ μηναίου. Εἶθ' οὕτως τοῦ ἀκαθίστου. Ἐξαποστειλάριον τῆς θεοτόκου. Εἰς τοὺς αἴνους,

πᾶσα πνοή, ἱστῶμεν στίχους, δ', στιχηρὰ προσόμοια. πρὸς. Ὡς γενναῖον ἐν μάρτυσιν. Κεκρυμμένον μυστήριον. δευτεροῦντες τὸ, α', δόξα, καὶ νῦν, στιχηρόν, ἦχος δ'. Γλῶσσαν ἣν οὐκ ἔγνω. Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν τυπικά. καὶ ἀπὸ τοῦ κανόνος τῆς ἀκαθίστου. Καὶ τῶν τετραῳδίων. προκείμενον. ᾠδὴ τῆς θεοτόκου. Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον. στίχος. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν. Ὁ ἀπόστολος, πρῶτος τῆς ἡμέρας. πρὸς Ἑβραίους. Ἀδελφοί, οὐκ εἰς χειροποίητα ἅγια. Καὶ τῆς θεοτόκου ἐκ τῆς αὐτῆς ἐπιστολῆς. Εἶχε μὲν γὰρ καὶ ἡ πρώτη σκηνὴ ἀδελφοί. Ἀλληλούϊα, ἦχος πλ. δ'. Ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυσίν σου. στίχος. Μνήσθητι κύριε τοῦ Δαβίδ. Εὐαγγέλια τῆς ἡμέρας, καὶ τῆς θεοτόκου. Ἀναστᾶσα Μαριάμ. Κοινωνικόν. Ποτήριον σωτηρίου λήψομαι.

Εἴδησις τοῦ τύπου τῆς πέμπτης κυριακῆς τῶν ἁγίων νηστειῶν. Καὶ διάταξις τῆς μετ' αὐτὴν ἑβδομάδος.

Κεφάλαιον, λς'.

Κυριακή, ε', τῶν ἁγίων νηστειῶν. Τελεῖται ἡ ἀκολουθία ὁμοίως, ὡς καὶ ἐν ταῖς λοιπαῖς κυριακαῖς. Ἐν μὲν ψάλλομεν καὶ τοῦ μηναίου τὴν ἀκολουθίαν τοῦ ἐμπλακέντος ἁγίου. Ἄλλοι δὲ μεταγενέστεροι παρέδωκαν ψάλλεσθαι ἐν ταύτῃ τῇ κυριακῇ, τὴν ἀκολουθίαν. Τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας. Εἰς τὸ λυχνικὸν μετὰ τὸν προοιμιακὸν καὶ τὴν α' στιχολογίαν. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ι'. Καὶ ψάλλομεν τῆς ὀκτωήχου στιχηρὰ ἀναστάσιμα, γ'.

Καί

Καὶ ἀνατολικά. Καὶ τῆς ὁσίας στιχηρὰ προσόμοια, γʹ, ποιοῦντες αὐτά, εἰς, δʹ, ἦχος, πλ. βʹ. πρός· Ὅλην ἀποθέμενοι. Σὲ μὲν διεκώλυε. δόξα, ἦχος, δʹ. Ἐθαυματούργησε Χριστέ. καὶ νῦν θεοτοκίον, τὸ, αʹ, τοῦ ἤχου. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. δόξα, τῆς ὁσίας, ἦχος, βʹ. Τὰ τῆς ψυχῆς θηρεύματα. Καὶ νῦν θʹ. ἦχος ὁ αὐτός. Ὢ θαύματος καινοῦ, Ἀπολυτίκιον ἀναστάσιμον. καὶ τῆς ὁσίας, ἦχος, πλ. δʹ. Ἐν σοὶ μῆτερ ἀκριβῶς. καὶ νῦν, θʹ. Ὁ δι᾽ ἡμᾶς γεννηθείς. Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος. Καὶ ἡ λοιπὴ ἀκολουθία ὡς σύνηθες. Εἰς τὸν ὄρθρον, μετὰ τὸν ἑξάψαλμον ἔθος ἅπασαν ἀκολουθίαν, κανόνες, γʹ. Ὁ ἀναστάσιμος μετὰ τῆς θεοτόκου, εἰς, ϛʹ. Καὶ τοῦ τριῳδίου, εἰς, δʹ. Καὶ τῆς ὁσίας, εἰς δʹ. Ἀπὸ, γʹ, ᾠδῆς κάθισμα τῆς ὁσίας. Ἀπὸ ἕκτης κοντάκιον, ἦχος, γʹ. πρὸς· Ἡ παρθένος σήμερον. Ἡ πορνείαις πρότερον. Ἐξαποστειλάριον, τὸ ἑωθινὸν ἀναστάσιμον. Εἶτα τῆς ὁσίας. Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα τῆς ὀκτωήχου, δʹ. Καὶ ἀνατολικά, δʹ. εἶτα λέγομεν στιχηρά. Ἀνάστηθι Κύριε ὁ Θεός μου ὑψωθήτω. στίχος, ἦχος, αʹ. Οὐκ ἔστιν ἡ Βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις. δόξα, πάλιν τὸ αὐτό. καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν λιτὴν σύνηθες τὸ ἑωθινὸν στιχηρὸν καὶ τὰ λοιπά. Εἰς τὴν λειτουργίαν, οἱ μακαρισμοὶ τοῦ ἤχου. προκείμενον τοῦ ἀποστόλου, τὸ τοῦ ἤχου. πρὸς Ἑβραίους. Ἀδελφοί, Χριστὸς παραγενόμενος ἀρχιερεύς. Καὶ τῆς ὁσίας, πρὸς Γαλάτας. Πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ἀδελφοί. Ἀλληλούϊα, τοῦ ἤχου. Εὐαγγέλιον, τῆς ἡμέρας, καὶ τῆς ὁσίας. Κοινωνικόν. Αἰ-

Τῦπ.

νεῖτε τὸν κύριον ⁓

Τῇ κυριακῇ ἑσπέρας. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ιʹ. Καὶ ψάλλομεν, δʹ, κατανυκτικὰ τοῦ ἤχου τῆς ὀκτωήχου. Καὶ τοῦ τριῳδίου προσόμοια, γʹ. Καὶ τοῦ μηναίου, γʹ. Δόξα, καὶ νῦν, θεοτοκίον. εἴσοδος, Φῶς ἱλαρόν. Τὰ προκείμενα ἡ συνήθης ἑσπερινή. Ἀπόστιχα τὸ ἰδιόμελον τῆς ἡμέρας, δίς. καὶ τὸ μαρτυρικόν. δόξα, καὶ νῦν, θʹ. Καὶ τὰ λοιπὰ ὡς σύνηθες ⁓

Τῇ δευτέρᾳ, τῶν Βαΐων ἐν τῷ ὄρθρῳ· τριαδικά. Μετὰ τὴν, αʹ, στιχολογίαν, καθίσματα κατανυκτικὰ τῆς ὀκτωήχου. Καὶ μετὰ τὴν, βʹ, κάθισμα. Καὶ μετὰ τὴν, γʹ. τὸ τριῴδιον. Καὶ στιχολογεῖται ἡ ᾠδή. Καὶ τὰ λοιπὰ ὡς σύνηθες ⁓

Τῇ, βʹ, τῆς, ϛʹ, ἑβδομάδος, ἑσπέρας μετὰ τὴν συνήθη στιχολογίαν. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ϛʹ. Καὶ ψάλλομεν τὰ προσόμοια. τὰ, γʹ, τοῦ τριῳδίου. Καὶ τοῦ μηναίου, γʹ. δόξα, καὶ νῦν, θʹ. τὰ προκείμενα, καὶ τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον τῆς ἡμέρας, δίς. Καὶ τὸ μαρτυρικόν. δόξα, καὶ νῦν, θεοτοκίον ⁓

Τῇ τρίτῃ τῶν Βαΐων, ἐν τῷ ὄρθρῳ μετὰ τὴν, αʹ, στιχολογίαν καθίσματα κατανυκτικὰ τῆς ὀκτωήχου. Καὶ μετὰ τὴν, βʹ. Καὶ μετὰ τὴν, γʹ, κάθισμα. Ψάλλομεν. Καὶ τοῦ μηναίου. Καὶ τὰ τριῴδια κατὰ τάξιν. Καὶ στιχολογεῖται ἡ ᾠδή. Εἰς τὸν στίχον τὸ ἰδιόμελον τῆς ἡμέρας, δίς. Καὶ τὸ μαρτυρικόν. δόξα, καὶ νῦν, θʹ. Καὶ τὰ λοιπά ⁓

Τῇ τρίτῃ, τῆς, ϛʹ, ἑβδομάδος ἑσπέρας. ἡ συνήθης στιχολογία. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ϛʹ. Καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ τριῳδίου, γʹ. Καὶ τοῦ μηναίου, γʹ. τὰ προκείμενα. Καὶ τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον. τὸ ἰδιόμελον